# Ζῶα.

## Βόνασοι. Μαῖδοι.

Κεφ. XLV. Ὁ δὲ βόνασος γίνεται μὲν ἐν τῇ Παιο-
νίᾳ ἐν τῷ ὄρει τῷ Μεσσαπίῳ, ὃ ὁρίζει τὴν Παιονι-
κὴν καὶ τὴν Μαιδικὴν χώραν, καλοῦσι δ' αὐτὸν οἱ
Παίονες μόνασον. Τὸ δὲ μέγεθος ἐστὶν ἡλίκον ταῦρος,
ἢ ἐστὶν ὀγκωδέστερον ἢ βοῦς· οὐ γὰρ πρόμηκες ἐστίν.
Τὸ δὲ δέρμα αὐτοῦ καθέχει εἰς ἑπτάκλινα διαταθέν.
Καὶ τὸ ἄλλο δ' εἶδος ὅμοιον βοΐ, πλὴν χαίτην ἔχει
μέχρι τῆς ἀκρωμίας ὥσπερ ἵππος. . . . . . .
. . . . . . . . . . . . . . "

Ἀριστοτ. περὶ τὰ ζῶα ἱστοριῶν Θ.

8. ιι . . . Δίχηλα δ' ἅμα ἢ χαίτην ἔχοντα ἢ κέ-
ρατα δύο κεκαμμένα εἰς αὑτὰ ἐστὶν ἔνια τῶν ζῴ-
ων οἷον ὁ βόνασος ὃς γίνεται περὶ τὴν Παιονίαν ἢ
τὴν Μαιδικήν. . .

Β. . .

Ζῶα

# Νέσσος ποταμός. Λέοντες.



Κεφ. XXXI. Λέων δ' ὅτι μὲν ὀχεύει ὄπισθεν καὶ ἐστὶν ὀπισθουρητικὸν εἴρηται πρότερον· ὀχεύει δὲ καὶ τίκτει οὐ πᾶσαν ὥραν, καθ' ἕκαστον μέντοι τὸν ἐνιαυτόν. Τίκτει μὲν οὖν τοῦ ἔαρος, τίκτει δ' ὡς ἐπὶ τὸ πολὺ δύο, τὰ μέντοι πλεῖστα ἕξ. τίκτει δ' ἐνίοτε καὶ ἕν. Ὁ δὲ λεχθεὶς μῦθος περὶ τοῦ ἐκβάλλειν τὰς ὑστέρας τίκτοντα ληρώδης ἐστί, συνετέθη δ' ἐκ τοῦ σπάνιον εἶναι τοὺς λέοντας, ἀποροῦντος τὴν αἰτίαν τοῦ τὸν μῦθον συνθέντος· σπάνιον γὰρ τὸ γένος τὸ τῶν λεόντων ἐστί καὶ ἐν πολλῷ γίνεται τόπῳ, ἀλλὰ τῆς Εὐρώπης ἁπάσης ἐν τῷ μεταξὺ τοῦ Ἀχελῴου καὶ τοῦ Νέσσου ποταμοῦ. Τίκτει δὲ καὶ ὁ λέων πάνυ μικρὰ οὕτως ὥστε δίμηνα ὄντα μόλις βαδίζειν. . . . "

Ἀριστοτ. Ζώων ἱστορ. ς΄.

Κεφ. XXVIII α . . . . Ἔτι δὲ λέοντες μὲν ἐν τῇ Εὐρώπῃ εἰσὶ μᾶλλον, καὶ τῆς Εὐρώπης ἐν τῷ μεταξὺ τόπῳ τοῦ Ἀχελῴου καὶ Νέσσου μόνον· παρδάλεις δὲ ἐν τῇ Ἀσίᾳ, ἐν δὲ τῇ Εὐρώπῃ οὐ γίνονται. "

Η.

Κεφ. ΚΗ' α. — — — . . Καὶ ἐν Αἰγύπτῳ τὰ κεν. Ἀριστοτ.
ἀλλὰ μείζω ἢ ἐν τῇ Ἑλλάδι, καθάπερ οἱ βόες καὶ Ζῴων ἱσ.
τὰ πρόβατα, τὰ δ' ἐλάττω, οἷον οἱ κύνες ἢ λύκοι ἢ Η'.
λαγωοὶ ἢ ἀλώπεκες ἢ κόρακες ἢ ἱέρακες, τὰ δὲ πα-
ραπλήσια, οἷον κορῶναι ἢ αἶγες. Αἰτιῶνται δὲ
τὰς τροφάς. — — — — — Πολλαχοῦ δὲ ἡ κρᾶ-
σις αἰτία, οἷον ἐν τῇ Ἰλλυρίδι ἢ τῇ Θρᾴκῃ ἢ τῇ Ἠ-
πείρῳ οἱ ὄνοι μικροί, ἐν δὲ τῇ Σκυθικῇ ἢ Κελτι-
κῇ ὅλως οὐ γίνονται· δυσχείμερα γὰρ ταῦτα. . .

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ζῶα

Θρᾴκη. ὄνοι.

Ἀριστ. περὶ ζῴων ἱστορ. Τ. Γ. σ. 169 κεφ. XXVIII.

« Πολλαχοῦ δὲ καὶ ἡ κρᾶσις αἰτία, οἷον ἐν τῇ Ἰλλυρίδι καὶ τῇ Θρᾴκῃ καὶ τῇ Ἠπείρῳ οἱ ὄνοι μικροί, ἐν δὲ τῇ Σκυθικῇ καὶ Κελτικῇ ὅλως οὐ γίνονται, δυσχείμερα γὰρ ταῦτα. »

Ὄνοι. Ζῶα

286

Κεφ. ΚΗ' α. . . . . . . Καὶ ἐν Αἰγύπτῳ τὰ μὲν Ἀριστοτ.
ἄλλα μείζω ἢ ἐν τῇ Ἑλλάδι, καθάπερ οἱ βόες καὶ Ζώων ἱστ.
τὰ πρόβατα, τὰ δ' ἐλάττω, οἷον οἱ κύνες καὶ λύκοι καὶ Η'.
λαγῷ καὶ ἀλώπεκες καὶ κόρακες καὶ ἱέρακες, τὰ δὲ πα-
ραπλήσια, οἷον κορῶναι καὶ αἶγες. Αἰτιῶνται δὲ
τὰς τροφάς. . . . . . Πολλαχοῦ δὲ καὶ ἡ κρᾶ-
σις αἰτία, οἷον ἐν τῇ Ἰλλυρίδι καὶ τῇ Θρᾴκῃ καὶ τῇ Ἠ-
πείρῳ οἱ ὄνοι μικροί, ἐν δὲ τῇ Σκυθικῇ καὶ Κελτι-
κῇ ὅλως οὐ γίνονται· δυσχείμερα γὰρ ταῦτα. . .

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Εθνογραφία.

Χαλκιδική η επί Θράκης. Ασυρίτις. Ψυχρός ποταμός. Πρόβατα γεννώντα μέλανας άρνας.

289

Κεφ. XII. « . . . Και περί τας οχείας δ' έστιν ύδατα πολ- Αριστοτ.
λαχού τοιαύτα, α πιόντα και οχεύσαντα μετά την πό- Περί τα ζώα
σιν τα πρόβατα μέλανας γεννώσι τους άρνας, όπου ιστοριών. Γ
και εν τη Χαλκιδική τη επί της Θράκης εν τη Ασυ-
ρίτιδι εποίει ο καλούμενος ποταμός Ψυχρός. και εν
τη Αντανδρία δε δύο ποταμοί εισιν ων ο μεν λευκά, ο
δε μέλανα ποιεί τα πρόβατα. »